nr. Michaelis Apostolii cg erat prior.

Primae IV lineae rubrae in ms.

2

τοῦ αὐτοῦ πρὸς τὸν εὐσεβέστατον καὶ γαληνότατον βασι-
λέα ῥωμαίων καὶ πάντων χριστιανῶν, κυρὸν κυρὸν φριδερίκον,
λόγος προσφωνηματικός, αἰτήσει ἀριστωνύμου τοῦ ἐν
Ξανθίου :—

Ἔδει τὸν ἐπιβαλλόμενον γαληνότατε βασιλεῦ, οὐχ᾽ ὅπως
πάνθ᾽ ὑμνῆσαι τὰ σὰ γενναῖα καὶ φανότατ᾽ ἀνδραγαθήματα,
ἀλλ᾽ ἕν γέ τι καὶ ὁτιοῦν τῶν πάντων, τῶν τε ἄλλων πάντων ὑπάρχον
καὶ παράθεσιν, εἶναι μὲν εὐξάσθαι τὴν φιλοσοφίαν, ἀρι
στοτέλην ἢ πλάτωνα. τῇ ῥητορείᾳ δ᾽ αὖ πάλιν, ἰσαῖον ἢ δημο
σθένην, στησίχορον δὲ ἢ ὅμηρον καὶ ποίησιν. μόλις γὰρ
ἂν οὕτως ἐφικέσθαι τοῦ προσήκοντος δυνηθείη. ἐμοὶ δ᾽ ὀλί-
γω πρόσθεν γευσαμένω φιλοσοφίας, καὶ μήτ᾽ ἐν ποιήσει μήτ᾽
ἐν ῥητορικῇ ταῖς θεραπαινίσιν αὐτῆς ἐγχρονίσαντι, διά τε
τὴν ἀπευκταίαν ἅλωσιν τῆς πατρίδος, καὶ τὰς μετ᾽ αὐτὴν δυσ
τυχίας, τίς ἂν δήπου παραίτησις γένοιτο, ἢ τίς οὐκ ἂν δι-
καίως γε λοιδορήσαιτο, βουλομένω προσλαλῆσαι τοιοῦτον
βασιλέα, οὐκ ἀθεεὶ λαβόντα τὰς τῆς βασιλείας ἡνίας. καὶ
ταῦθ᾽ οὕτω φύσεως τῶν πάντων ἐχόντων, ὀξυδορκεῖν μὲν
πρὸς τοὺς καὶ ὁτιοῦν ἐπταικότας, πρὸς δὲ τοὺς σπουδαῖ-
όν τι κατωρθωκότας ἀμβλυωπεῖν. τό, τε μὲν ἀγαθὸν κρύ-
πτειν, τό, τε δὲ φαῦλον ἀνακηρύττειν. ἀλλ᾽ ἐπείπερ
μετ᾽ εἰκόνας ἄλλας πολλάς τε καὶ ἀγαθὰς ὑπερκειμένας καὶ
ὑφειμένας, μανθάνομεν καὶ τὸ πάντων τῶν ὄντων ὑπερεπέ-
κεινα θεῖον, τὸ εἶναι ἕν τε καὶ αὐτοεν, τὸ ὄντε καὶ αὐτοον, ταῖς
παρ᾽ ἡμῶν εὐλογίαις ἢ δυσφημίαις, εὖ τε καὶ ἄλλως ὡς φα-
σι διατίθεσθαι, ἦ που καὶ σοὶ θειότατε βασιλεῦ, προσιτέον
ἂν εἴη τὸ παρ᾽ ἡμῶν εὔφημον καὶ λοιδόριον. οὐχ ὅσον ἀ-
δια φ᾽ ἑαυτῶν κινουμένων, ἀλλὰ καὶ ἀπὸ θεράποντος οἰκεί-
ου τοῦ κράτους τῆς βασιλείας σου. ἀνδρὸς βυζαντίου. υἱ-
έως πατρὸς, εὖ τε γένους καὶ παιδείας καὶ φρονήσεως ἔχοντος.

φαίον — i.e. ὡς φαῖον